UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

Universitätsbibliothek Wuppertal

Demosthenis Et Aeschinis, Principum Græciæ Oratorum Opera

Demosthenes

Aureliae Allobrogum, 1607

Vita Demosthenis e Suida

Nutzungsrichtlinien Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1565

Visual Library

A

ΔΗΜΟΣΘΕΝΟΥΣ, ΒΙΟΣ, ΚΑΤΑ ΣΟΥΙΔΑΝ.

ΔΗΜΟΣΘΕΝΗΣ ἀθηναῖος, υἱὸς δημοσθένους καὶ κλεοβούλης, ῥήτωρ, τῶν δήμων παιανιεύς. ἐπιμελὴς μᾶλλον ἢ εὐφυής, ὡς ἕρμιππος ἱστορεῖ, καὶ τὰς ἡδονὰς ἀκόλαστος ὡς ὁ αὐτός φησιν. ὅθεν καὶ νέος μὲν ὢν βάτταλος ἐκλήθη, ὡς γυναικείᾳ ἐσθῆτι πολλάκις χρησάμενος. ἀργᾶς δὲ μετὰ τὸ εἰς ἄνδρας τελέσαι, ὅπερ ἐστὶν ὄνομα ὄφεως. ἐπεθύμησε δὲ ῥητορικῆς, καλλίστρατον θεασάμενος τὸν ῥήτορα ὑπὲρ ὠρωπίων λέγοντα. ἤκουσε δὲ τοῦ ἰσαίου καὶ ἰσοκράτους μαθητοῦ. καὶ τοῖς λόγοις ἐχρῆτο ζωΐλου τοῦ ἀμφιπολίτου, σοφιστεύοντος ἐν ἀθήναις. καὶ πολυκράτους, καὶ ἀλκιδάμαντος, τοῦ γοργίου μαθητοῦ, καὶ αὐτοῦ μέντοι ἰσοκράτους. συνεφιλολόγησε δὲ αἰσίωνι τῷ ἀθηναίῳ, καὶ θεοπόμπῳ τῷ χίῳ φιλοσόφῳ. διηκροάσατο δὲ καὶ εὐβουλίδου τοῦ διαλεκτικοῦ, καὶ πλάτωνος. ἐτελεύτησε φυγὼν εἰς καλαυρίαν ἐν τῷ τοῦ ποσειδῶνος ἱερῷ διὰ τὸν μακεδόνα ἀντίπατρον, προσενεγκάμενος φάρμακον, τὸ ἐν τῷ δακτύλῳ, ἔτη βιώσας δύο καὶ ἑξήκοντα.

ΑΛΛΩΣ.

Δημοσθένης ὁ ῥήτωρ, ἀνὴρ ἦν γνῶναί τε καὶ εἰπεῖν ὅσα ἐνθυμηθείη, δυνατώτατος γενόμενος. ὅθεν καὶ δεινότατος ἔδοξε τῶν καθ' αὑτόν. οἷα δὴ ἱκανώτατος τὸ ἀφανὲς εἰκάσαι, καὶ τὸ γνωσθὲν ἐξηγήσασθαι, καὶ ἐν οἷς μὲν ὑπὲρ τῶν κοινῶν λέγειν τι ἢ πράττειν ἐπεχείρησε. καιρῷ μὲν ἐπιτηδείῳ οὐ μάλα ἐχρήσατο ἐς δόξαν τῶν δημαγωγούντων. πλεῖστα δὲ εἷς ἀνὴρ τῶν καθ' αὑτὸν ἀθηναίων, καὶ τοῖς μακεδόνων τυράννοις σὺν παρρησίᾳ ἀντειπών, παρὰ τοῖς δ' ἀδωρότατος ἔδοξεν εἶναι. ὅτε δὴ συνέβαινε τοὺς ἐν ταῖς ἄλλαις πόλεσιν, οἷα δὴ τῶν κερδῶν ἐφιεμένους μᾶλλον τοῦ ἐς τὸ κοινὸν λυσιτελοῦντος, ἐξωνηθέντας χρημάτων δόσεις, τὸ κατὰ σφᾶς, ὡς ἐδόκει ἐν τῷ παραυτίκα, κέρδους τοῦ σφετέρου εἵνεκα, περὶ τοῦ ἐς τὰ κοινὰ συμφέροντος τίθεσθαι. ὅθεν αὐτῷ καὶ ἐφ' οἷς ὕστερον ἠτιάθη συγγνόντες οἱ ἀθηναῖοι, κατεδέξαντό τε αὖθις, καὶ ἐς πάντα συμβούλῳ ἐχρήσαντο. καὶ αὐτῷ ἡ τελευτὴ γενναία ἐπιγενομένη, μάλιστα ἐς μεταμέλειαν ἤγαγεν αὐτοὺς οὐκ ἀφανῆ τῶν γνωσθέντων. οὐ πολλῷ γοῦν ὕστερον ἢ ἐξαγγελθῆναι τεθνηκότα δημοσθένην, μετεγίνωσκον ἐφ' οἷς δέει τῶν μακεδόνων μᾶλλον, ἢ γνώμῃ τῇ δικαιοτάτῃ ἔκριναν. καὶ ἀτέλειάν τε τῷ πρεσβυτάτῳ* γένους τοῦ δημοσθένους ψηφίζονται, καὶ χαλκοῦν στῆναι αὐτὸν ἐν ἀγορᾷ. καὶ ἐλεγεῖα τῇ βάσει τοῦ ἀνδριάντος ἐπέγραψαν·

εἴπερ ἴσην ῥώμην γνώμῃ δημόσθενες εἶχες,
οὔποτ' ἂν ἑλλήνων ἦρξεν ἄρης μακεδών.

ΑΛΛΩΣ.

Δημοσθένης μαχαιροποιός, παιανιεύς, οὗ δημοσθένης ὁ ῥήτωρ, ὀρφανὸς καταλειφθείς, ἐπιτρόπους ἔσχε τρεῖς, ἄφοβον, δημοφῶντα, θηριππίδην. ὧν ἀμελούντων αὐτοῦ καὶ τῆς οὐσίας, αὐτὸς αὐτὸν ἐνεχείρισε διδασκάλῳ ἰσαίῳ. φιλόπονος δὲ οὕτως ἦν, ὥς τε φασὶν ἑαυτὸν οἴκοι καθείρξαντα, ἑαυτοῦ ξυρῆσαι τῆς κεφαλῆς μέρος, ἵνα μήτε προΐοι, μήτε δέχοιτό τινα. παιδευθεὶς δὲ εἷλε τῆς ἐπιτροπῆς τοὺς ἐπιτρόπους. σοφιστεύειν βουληθεὶς ἀπέστη διαβληθεὶς* ἐπὶ μόσχῳ μειρακίῳ τῶν εὐγενῶν.

VITA DEMOSTHENIS E SVIDA, HIERONYMO Vvolſio interprete.

DEmoſthenes Athenienſis, filius Demoſthenis & Cleobulæ, orator è Pæanienſi municipio: fuit, Hermippo autore, diligétior, quàm ingenioſior: &, vt idé ait, ad voluptatem propenſior. Vnde factum eſt, vt adoleſcens Battalus vocaretur, vt qui veſte muliebri ſæpe eſſet vſus: virili autem toga ſumpta, Argas, quòd eſt ſerpétis genus. Animum ad eloquentiam appulit, cum Calliſtratum cauſam Oropiorum agentem ſpectaſſet.
B Fuit & Iſæi, diſcipuli Iſocratis, aſſiduus auditor. Vſus etiam eſt orationibus Zoili Amphipolitæ, qui Athenis docebat: & Polycratis, & Alcidamantis, Georgiæ diſcipuli: atque ipſius etiam Iſocratis. In eloquentiæ ſtudio ſodalem habuit Æſionem Athenienſem, & Theopompum Chium * philoſophum. Sedulò etiã Eubulidem dialecticum & Platonem audiuit. Obiit, cùm Macedonis Antipatri metu in Calauriam profugiſſet, in æde Neptuni, hauſto veneno, quod in annulo geſtabat: anno ætatis ſecundo & ſexageſimo.

ALITER EX EODEM.

DEmoſthenes orator, vir fuit & prudentia in excogitando, & in iis quæ excogitaſſet, eloquétia mirabili. Vnde ſua ætate ſummus orator eſt habitus, cum & obſcura coniecturis indagandi, & res cognitas explicandi maxima ſolertia eſſet præditus. Ac iis quidem temporibus, quibus habere conciones, & Rempublicam adminiſtrare cœpit, magiſtratus non optimè audiebant. Sed vnus hic vir inter ſui temporis Athenienſes, Macedonum tyrannis magna liber-
C tate plurimùm aduerſatus, abſtinentiæ & integritatis laudem conſecutus, neque ab eis accepiſſe vlla munera viſus eſt. Nam aliarum ciuitatum principes ea tempeſtate, priuati emolumenti quàm boni publici cupidiores, redempti pecuniæ largitionibus, quò rem ſuam, vt putabant, in præſentia ſtabilirent: priuati lucri cauſa publicam vtilitatem negligere ſolebant. Quamobrem Athenienſes illis etiã criminibus, quorum pòſt accuſatus eſt, ignouerunt: eiusq; ab exilio reuocati conſiliis, omnibus in rebus vſi ſunt. Pòſt cõſecutus eius præclarus obitus, effecit, vt eos decretorũ ſuorum nõ obſcurè pœniteret. Certè non multo pòſt, nunciato Demoſthenis interitu, reſciderunt ea quæ metu Macedonũ magis, quàm ex æquo & bono, ſtatuerant: nec immunitatem tantum natu maximo è familia Demoſthenica, ſed & ipſi æreã in foro ſtatuã decreuerũt, his elegiacis verſib⁹ baſi eius ſubſcriptis:

Si magni vires animos Demoſthenis æquent,
Græcia non Macedûm Marte ſubacta foret.

ALITER EX EODEM.

DEmoſthenes gladiorum faber, Pæanienſis, Demoſthenem oratorem filium habuit, cui pupillo tutores dati ſunt tres, Aphobus, Demophon, Therippides. Qui cum & patrimonium eius negligerent, ipſe Iſæo ſe erudiendum tradidit. Fuit autem ideò induſtrius, vt domi ſe includeret, raſa parte capitis, vt neq; prodiret in publicũ, neq; ad ſe quẽquam accedere pateretur. Erudit⁹, curatores reos tutelę peregit. Rhetoricã docere cũ vellet, ab eo inſtituto receſſit propter calũniã de Moſchi filio nobili adoleſcẽte.

ſubortam.Pòſt orationes ſcribere aggreſsus, cum ibi A
quoq;crimini daretur, contrarias eum edere oratio-
nes Phormioni & Apollodoro:eo etiam ſtudio reli-
cto Rempublicam capeſſit.Quanquam autem balbus
erat, & humerum indecore mouebat,& imbecilli *
voce,& ſpiritu infirmo:hæc tamen incommoda cor-
rexit omnia exercitatione.Actionem item & pronũ-
ciationem eius,quæ præclara non erat, Andronicus
excoluit.Functus eſt ædilitate,triremes inſtruxit,ca-
ptiuos redemit,puellis elocandis adiumento fuit. In
ædilitate autem à Midia verberatus,ter mille drach-
mis,vt aiunt,placatus eſt.Cum Demæneto item con-
ſobrino,quem vulneris inflicti accuſarat, in gratiam
rediit.Poſt Chabriæ ducis obitum,vxoris eius,*Cte-
ſippi filiæ nuptias ambiit,& adeptus eſt. In gerenda
Republica Philippo eſt aduerſatus: qui cum Theba-
nos inuaderet,autor fuit, ſocietatis cum eis ineundæ.
quibus ad Chæroneam victis, mille & quadraginta
interfecti, bis mille capti ſunt. Habuit chariſſimam B
filiam:eam elatam luxit,ſeptimóq; poſt eam calami-
tatem die,accepto nũcio de Philippo à Pauſania in-
terfecto,mutata veſte rem diuinam fecit.Aduerſatus
eſt etiam Philippi F. Alexandro.Cui quum Harpalus
magna pecunia ſurrepta, ad Athenienſes confugiſſet:
Demoſthenes, qui & ipſe partem accepiſſe putaba-
tur,Trœzenem in exilium profugit. Alexandro Ba-
bylone mortuo,in patriam reuocatus eſt: ſed Antipa-
ter,ſuſcepto Græciæ principatu, decem oratores ſibi
dedi,per legatos poſtulauit.Quos cum dediſſent A-
thenięſes,Demoſthenes in Calauriam fugit.Archias
autem ab Antipatro contra eum miſſus,vi eũ auellit
à Neptuni æde,quæ aſylum erat.At hic veneno,quod
ſub annuli pala habebat,exucto,mortuus eſt. Fuit a-
lius Demoſthenes Thrax, qui ſoluta oratione tum
Homericam Iliadem, tum Heſiodi Theogoniam ex-
poſuit,& compẽdium Demageti Heracleotæ,& opus C
de Dithyrambopœis conſcripſit.

ÆSCHINIS VITA, EX PLVTARCHO, HIERONYMO Vvolſio interprete.

AEschines Atrometi,qui ſub triginta
tyrãnis exulauit, populíq; reſtituẽdi
adiutor fuit,& Glaucotheę filius,Co-
thocides municeps,neq; genere neq;
opibus clarus:adoleſcẽs,quia robuſto
erat corpore,in gymnaſiis ſe exercuit,poſteáq;cũ cla-
rã vocẽ haberet, tragœdias actitauit. Vt autẽ Demo-
ſthenes ait,ſcriba fuit,& tertias partes Bacchanalib.a-
pud Ariſtodemũ actitauit,veteres tagœdias ꝑ otiũ re
petens.Puer adhuc, literas cũ patre docuit: adultus *
inter vulgus militauit. Fuit auditor, vt quidã aiũt,Iſo-
cratis & Platonis. vt Cæcilius, Leodamantis: cúm-
que non obſcurè Demoſthenicæ factioni ad-
uerſaretur,cum alias multas legationes obiit,tum il-
lã de pace apud Philippũ, ob quã à Demoſthene accu-
ſatus eſt,deleta gẽte Phocẽſi:aq; etiã,ꝑpterea,quòd Py
lagoras creat⁹, Amphictyonib.aduerſus Amphiſſẽſes,

A λογογραφεῖν δὲ ἀρξάμενος, διεβλήθη πάλιν ὡς ἐναν-
τίους λόγους ἐκδοὺς Ἀπολλοδώρῳ καὶ Φορμίωνι. καὶ τού-
του οὕνεκα ἀποστὰς ἤρξατο πολιτεύεσθαι. φαῦλος δὲ ὢν
καὶ τὸν ὦμον ἀπρεπῶς ἐκίνει, καὶ τὴν * ἀκοὴν ἀσθενής,
καὶ τὸ πνεῦμα οὐ διαρκής. ἅπερ ἀσκήσει διωρθώσατο.
τήν τε ὑπόκρισιν οὐκ ὢν ἄκρος ὑπ᾽ Ἀνδρονίκῳ ταύ-
την ἐξήσκησεν. ἐχορήγησε δὲ καὶ ἐτριηράρχησε, καὶ αἰ-
χμαλώτους ἐλύσατο, καὶ θυγατέρας συνεξέδωκεν. ὅτε
δὲ ἐχορήγει τυπτηθεὶς ὑπὸ Μειδίου τρισχιλίαις ὥς φασιν,
ἐπείσθη. καὶ Δημαίνετον ἀνεψιὸν γραψάμενος τραύματος,
ὥς φασιν, διελύσατο. αἰτησάμενος δὲ Χαβρίου τοῦ στρατη-
γοῦ γυναῖκα, Χαβρίου τελευτήσαντος, Κτησίππου θυ-
γατέρα, ἔγημεν. ἐπολιτεύσατο δὲ κατὰ Φιλίππου. οὗ Θη-
βαίοις ἐπιόντος, ἔπεισε συμμαχῆσαι. καὶ κατὰ Χαιρώνειαν
ἡττῶνται, χιλίων ἀποθανόντων καὶ μὲν καὶ δισχιλίων αἰ-
B χμαλώτων. ἀγαπητὴν δὲ ἔχων θυγατέρα, τελευτήσασαν
ἐπένθησε, καὶ ἑβδομαίου τοῦ πάθους ὄντος, ἀγγελθέντος
ἀνῃρῆσθαι Φίλιππον ὑπὸ Παυσανίου, μετημφιάσατο,
καὶ τοῖς θεοῖς ἔθυσεν. ἐπολιτεύσατο δὲ καὶ κατὰ ἀλεξάν-
δρου τοῦ Φιλίππου. οὗ Ἅρπαλος πολλὰ νοσφισάμενος
χρήματα, ὡς Ἀθηναίους κατέφυγεν. ὧν καὶ Δημοσθένης
εἰληφέναι μέρος ἔδοξε, καὶ ἔφυγεν εἰς Τροιζῆνα. Ἀλε-
ξάνδρου δὲ ἐν Βαβυλῶνι τελευτήσαντος, ὁ Δημοσθένης
κατῆλθε κληθείς. Ἀντίπατρος δὲ ἄρξας τῶν Ἑλλήνων,
πέμψας ἐξῄτει τοὺς δέκα ῥήτορας. ἐκδόντων δ᾽ Ἀθη-
ναίων, ὁ Δημοσθένης εἰς Καλαυρείαν ἔφυγεν. Ἀρχίας δὲ ὁ
ὑποκριτὴς ἀποσταλεὶς ἐπ᾽ αὐτὸν ὑπ᾽ Ἀντιπάτρου, βίᾳ
ἀποσπᾷ ἀπὸ τοῦ ἱεροῦ Ποσειδῶνος, ὃ ἦν ἄσυλον. ὁ δὲ ὑπὸ
τῇ σφραγῖδι φάρμακον ἔχων μυζήσας ἀπέθανε. Δημο-
C σθένης, Θρᾷξ ἕτερος, ἔγραψε μετάφρασιν Ἰλιάδος πεζῷ
λόγῳ, ἐπιτομὴν τοῦ Δημαγήτου τοῦ Ἡρακλεώτου, περὶ
διθυραμβοποιῶν, μετάφρασιν εἰς τὴν Ἡσιόδου Θεο-
γονίαν.

ΑΙΣΧΙΝΟΥ ΡΗΤΟΡΟΣ ΒΙΟΣ, ΚΑΤΑ πλούταρχον.

Αἰσχίνης Ἀτρομήτου, φυγόντος μὲν ἐπὶ τῶν
τριάκοντα, συγκαταγαγόντος δὲ τὸν δῆ-
μον, καὶ Γλαυκοθέας, τῶν δὲ δήμων
Κοθωκίδης, οὔτε κατὰ γένος τῶν ἐπιφανῶν,
οὔτε κατὰ περιουσίαν χρημάτων. νέος δὲ ὢν καὶ ἐρρω-
μένος τῷ σώματι, περὶ τὰ γυμνάσια ἐπόνει. λαμπρό-
φωνος δὲ ὤν, μετὰ ταῦτα τραγῳδίαν ἤσκησεν. ὡς δὲ
Δημοσθένης φησὶν ὑπογραμματεύων καὶ τριταγω-
νιστῶν Ἀριστοδήμῳ ἐν τοῖς Διονυσίοις διετέλει, ἀναλαμ-
βάνων ἐπὶ σχολῆς τὰς παλαιὰς τραγῳδίας, καὶ
ἔτι παῖς ὢν ἐδίδασκε γράμματα σὺν τῷ πατρί, καὶ μειράκιον ὢν ἐστρατεύετο * ἐν τοῖς πολλοῖς. ἀ-
κροατὴς δὲ γενόμενος, ὡς μέν τινες λέγουσιν Ἰσοκράτους καὶ Πλάτωνος, ὡς δὲ Καικίλιος Λεωδάμαντος, καὶ
πολιτευόμενος οὐκ ἀφανῶς ἐκ τῆς ἐναντίας μερίδος τοῖς περὶ Δημοσθένη, ἐπρέσβευεν ἄλλας τε πρεσ-
βείας πολλάς, καὶ πρὸς Φίλιππον ὑπὲρ τῆς εἰρήνης. ἐφ᾽ ᾗ κατηγορηθεὶς ὑπὸ Δημοσθένους, ἀνῃρημένου
τοῦ Φωκέων ἔθνους, ἔτι δὲ ὡς πόλεμον ἐξάψας, ἡνίκα πυλαγόρας ᾑρέθη Ἀμφικτύοσι πρὸς Ἀμφισσεῖς,